This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

64

MARCO POLO:

NARRATIO AD EXEMPLAR HERODOTEUM.

PRÆMIO GAISFORDIANO DONATA.

AUCTORE

AUGUSTINO LEY,

EX ÆDE CHRISTI.

11.

BIBLIOTHECA BODLEIANA

OXONII:

T. ET G. SHRIMPTON.

1863.

NARRAT MARCO POLO VENETUS QUÆ VIDERIT APUD SERAS ET INDOS.

Ἐπ' ἥβης ἤδη ἦν ἐπεί τε ὁ πατὴρ καὶ ὁ πάτρως, οὔκω γεγονότος ἐμεῦ ἀποδημήσαντες, ἀπεκομίσθησαν πρὸς τὴν ἑωυτῶν, χρήματά τε πολλὰ ἀγινέοντες, καὶ πρῆγμα οὐ σμικρὸν ἐπιτραφθέντες ἐκ βασιλέος. Παραμείναντες δὲ οὐ πολλόν τινα χρόνον, ἅτε βασιλέος ὀργὴν ἀρρωδέοντες, τὴν ἔμπαλιν ὁδὸν ἐπορεύθησαν· καὶ δὴ καὶ ἔγωγε συνεπορεύθην, ἐπιχωρίου ἐόντος ἡμῖν αἰεὶ μακρὸν ἐκδημέειν ἐμπορίης εἵνεκα· ἔτι δὲ καὶ πρόθυμος ἔα τὰ χωρία τῶν πέρι πολλὰ ἀκηκόεα αὐτὸς ἰδέσθαι. Ἐπλώσαμεν ὦν πρὸς Πτολεμαΐδα τὴν ἐν Συρίῃ τῇ Παλαιστίνῃ· ἐνθεῦτεν δὲ μεχρὶ Ἰσσοῦ λιμένος. Ὅκως δὲ δι' Ἀρμενίης ὡδοιπορέομεν, κατέλαβε ἡμέας ἄγγελος, ἐντελλόμενος ὀπίσω κομίζεσθαι πρὸς Πτολεμαΐδα. Ὑποστρέψαντες δὲ ἐπιστολάς τε καὶ δῶρα ἐλάβομεν παρὰ τοῦ Ἱροφάντεω πρὸς βασιλέα· ἤεσαν δὲ σὺν ἡμῖν συμπρεσβευταὶ δύο· οὗτοι δὲ καταρρωδήσαντες ἐν τῇ ὁδῷ, ἐπύθοντο γὰρ ἐγγὺς ἐόντας πολεμίους τινὰς, ἀπολιπόντες ἡμέας ἀπῆλθον ὀπίσω πρὸς θάλασσαν. Ἡμεῖς δὲ διὰ τῆς μεσογαίης ἐπορεύθημεν· καὶ θωυμασιίοισί τε πολλοῖσι ἐν τῇ ὁδῷ ἐνετύχομεν, καὶ πόλισι καὶ ἔθνεσι ἀνθρώπων πολλοῖσι προσωμιλήσαμεν, τὰ ἐγὼ πολλὰ ἔχων καταλέξαι σιωπήσομαι ἐν τῷ παρεόντι, πρὸς ἐκεῖνα ἐπειγόμενος τὰ ἐν τοῖσι Σηρσὶ εἴδομεν. Ἐν δὲ τῇ ἀνόδῳ ἀναισιμώθησαν ἡμῖν ἔτεα τρία καὶ μῆνες ἕξ· τῶν δὲ εἵνεκεν χρόνος ἐγεγόνεε τοσοῦτος ἀναισιμεύμενος ἐγὼ σημανέω· οὐκ ἠδυνήθημεν ἐν τῷ χειμῶνι εἰ μὴ ὀλίγον τι προιέναι· πρὸς δὲ καὶ ἐν μιῇ πόλι

ἐγὼ ἐνιαυτὸν ὅλον ἔκαμνον· ὕστερον δὲ, μαθὼν δι' ἠέρος οὐκ ὑγιεινοῦ ἐόντος καμέειν, ἄκος τε εἶναι τοῖσι ἐπ' οὔρεα τὰ πρόσχωρα ἀναβᾶσι, ἀνέβην καὶ αὐτός· μετ' ἡμέρας δὲ οὐ πολλάς τινας ἐλώφησε ἡ νοῦσος. Ἐν ταύτῃ δὲ τῇ ὁδῷ, δι' ἐρημίης τινὸς διέβημεν, οὐ μέντοι κατὰ μῆκος, ἀδύνατον γὰρ τοῦτό γε, ἀλλ' ᾗ στεινοτάτη αὐτὴ ἑωυτῆς ἐστί· ταύτῃ δὲ οὐκ ἔλασσον ἢ τριήκοντα ἡμέραι ὁδοῦ εἰσὶ διὰ ψάμμου. Τὴν δὲ ἐρῆμον ταύτην ἅπασαν ἐνοίκηνται τέρατά τινα ἀνθρώπων ἢ καὶ δαιμόνων, τὰ τοὺς διοδοιπορέοντας ἐξαπατήσαντα καταχρέωνται· ἐξαπατήσαντα δὲ τρόπῳ τοιῷδε· ἱέντες τὰς τῶν μάλιστα ἑκάστῳ οἰκηΐων τε καὶ φίλων φωνὰς, ἀναπείθουσί σφεας τοὺς συνεμπόρους ἀπολιπεῖν, ἀπολιπόντας δὲ οὐ ῥᾳδίως διατιθέασι.

Ἐπεί τε δὲ παρὰ βασιλέα ἀπικόμεθα, εὐμενέως τε ἡμέας προσεδέξατο καὶ πολλὰ ἐξιστόρησε, καὶ δεξάμενος τὰ δῶρα τὰ φέροντες ἤλθομεν, ἐνετείλατο μένειν ἡμέας παρ' ἑωυτῷ· ἐπρήχθη δὲ ταῦτα οὐ δι' ἑρμηνέων· τὴν γὰρ γλῶσσαν ὅ τε πατὴρ καὶ ὁ πάτρως χρηστῶς ᾔδεσαν, καὶ ἥδετο διαλεγόμενος σφίσι βασιλεύς. ὁρέων δὲ ἐμὲ, ἐπειρώτησέ τε τίς εἴην, καὶ μαθὼν ἐκέλευσε περὶ ἑωυτὸν εἶναι. Ἑπτὰ καὶ δέκα ἔτεα τὰ πάντα παρὰ βασιλέϊ ἐμείναμεν· οὐ μὴν οὐδὲ τότε ἀπιέναι ἠθέλησε· κοίῳ μέντοι τρόπῳ ἀπῆκε, ἐν τοῖσι ὕστερον ἔπεσι ἀπηγήσομαι. Παραχρῆμα δὲ μετὰ τὸ ἐλθεῖν ἡμέας συνενείχθη εὐεργετῆσαι βασιλέα τόν τε πατέρα καὶ τὸν πάτρων ἐν πρήγματι δή τεῳ. ἔτυχε γὰρ βασιλεὺς πόλιν τινὰ μεγάλην ἐπὶ συχνὸν χρόνον πολιορκέων· ἅτε δὲ περιρρύτου ἐούσης τῆς πόλιος, καὶ πάντων τῶν ἐπιτηδέων ἐκ θαλάσσης ἐσερχομένων, ἠπόρεε ὅτεῳ τρόπῳ ἁλώσιμός οἱ γενήσεται. οἱ δὲ ὑποδεκέατο μηχανὰς ποιῆσαι τοιαύτας ταῖσι παρέξει οἱ ὑποχειρίην ποιήσασθαι τὴν πόλιν· ὑπερησθεὶς δὲ τούτοισι βασιλεὺς ἄνωγε τοὺς νομίζουσι ἀρίστους χειροτέχνας τῶν ὅσοι ἦσαν παρ' ἑωυτῷ ἐπιλέξασθαι· ἐπιλεξάμενοι δὲ, τρεῖς καταπέλτας ἐποίησαν, δυναμένους

λίθους ῥίπτειν τάλαντα τέσσερα ἕλκοντας· καὶ ἀναβιβάσαντες τούτους τοὺς καταπέλτας ἐπ' ὁλκάδων καὶ κομίσαντες πρὸς τὴν πόλιν ἔβαλλον· βάλλοντες δὲ, τῇ πρώτῃ ῥύμῃ πύργον τινὰ ἀνέστρεψαν. Οἱ δὲ ἐν τῇ πόλι, ἠπιστέατο γὰρ θεῖον εἶναι τὸ πρῆγμα, εὐθὺς παρέδοσαν σφέας αὐτοὺς χρήσασθαι ὅ,τι βουλοίατο. Ἐγὼ δὲ καὶ αὐτὸς τὰς μάλιστα ἀπίασι γλώσσας οἱ τοῦ βασιλέος ὑπήκοοι ἐξέμαθον, ἐούσας ἀριθμὸν τέσσερας· ἐπετράφθην δὲ πολλὰ ἐκ βασιλέος, πεμπόμενός τε καὶ ἐς ἓξ μηνῶν ὁδὸν ἐπίτροπός οἱ τῶν πρηγμάτων, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥστε πολλὰ ἦν ἐκ τῶν ἀτρεκέως πάρεσχέ μοι ἐπίστασθαι τὰ καταλέγω· πολλάκις τε καὶ θηρῶντι βασιλέϊ συνηκολούθεον· ἐθήρα δὲ βασιλεὺς κατ' ἔτος ἕκαστον ἐν τῇ χώρῃ τῇ πρὸς βορέην καὶ ἀπηλιώτην ἄνεμον κειμένῃ τῶν βασιληΐων· καὶ ὕπαρχος κατέστην πόλιός τινος ἐχούσης ὑπ' ἑωυτῇ ἄλλας πόλις ἐείκοσι καὶ ἑπτά· ταύτην δὲ τὴν ἀρχὴν ἐπ' ἔτεα τρία κάτεσχον.

Ἐνθεῦτεν καταβαίνει ὁ λόγος ἡμέων ἐρέων τις ἐὼν ὁ βασιλεὺς οὗτος τὰ ἀνέκαθεν, τῶν τε Σηρῶν ἦρχε καὶ μεχρὶ τῶν Ἰνδῶν, καὶ ὡς λόγῳ εἶπαι σχεδὸν τὴν πᾶσαν Ἀσίην πρὸς φόρου ἀπαγωγὴν κατεστρέψατο. Σκύθαι Τάτταροι καὶ Μόγγολες, οἱ αὐτοὶ οὗτοι καλεόμενοι, τὰ μεσόγαια τῆς Ἀσίης κατοίκηντο, πεδία ὑψηλά τε καὶ ποιώδεα ἐς τὰ μάλιστα· πόλις δὲ οὐδαμάς κω νομίζοντες, ἀλλὰ νομάδων τρόπον διαιτώμενοι. ζώουσι δὲ σχεδὸν πάντα τὸν βίον ἐπ' ἵππων· δυνέαται δὲ πόνους τοὺς μεγίστους ὑπομεῖναι, ὥστε, εἰ ἀναγκαίη αἱρέοι, ἡμέρας δύο καὶ νύκτας δύο διατελέειν ἱππεύοντες, εὕδειν δὲ μεταξὺ νεμομένων τῶν ἵππων. Στρατιὰς δὲ ὑπερμεγάθεας συναγείρουσι, ἐς ἀνδρῶν δέκα μυριάδων ἀριθμὸν, ἐνίοτε δὲ καὶ πολλῷ πλεῦνας, ἱππέας δὲ τοὺς πάντας· ἔχει δὲ ἕκαστος σφέων ἵππους μάλιστα εἴκοσι, ὥστε ἄλλου μὲν ἀποκαμόντος τῶν ἵππων, οἱ δὲ ἐπ' ἄλλον καὶ μάλα ἄλλον ἐπιβαίνουσι. φορέουσι δὲ κορύνας σιδηρέας καὶ

τόξα, ἐόντες τοξόται πάντων τῶν ἡμεῖς ἴδμεν κάλλιστοι. Ἄμαχοι δέ εἰσι ὁμοῖα τοῖσι μάλιστα ἀνθρώπων· τὰ γὰρ βέλεα εἴτε προσφερόμενοι εἴτε ἀποφεύγοντες κατὰ τὰ ὀπίσω οὐδὲν ἧσσον καιρίως ἀπιεῖσι. ποτὸν δὲ πίνουσι ἵππων γάλα, οἴνου γένος τι ἐκ τούτου ἐξευρημένοι ποιήσασθαι, τόνπερ καὶ θησαυρίζουσι ἐπ᾽ ἔτεα πολλά· ἐγγλύσσει δὲ τῇ γεύσει ἐπιεικέως. ἐσθίουσι δὲ τοῦτο μὲν ἵππων κρέα, τοῦτο δὲ καὶ ἄλλων θηρίων παντοίων, ἃ ἂν δὴ λάβωσι, καὶ δὴ καὶ λύκων καὶ βασσαρίων καὶ κυνῶν, εὖ γε ἡκόντων πιμελῆς πέρι· ἐπεὰν δὲ ἐπιλίπῃ σφέας πάντα τὰ σιτίων ἐχόμενα, ἐνθαῦτα λαβὼν ἕκαστος τὸν ἑωυτοῦ ἵππον, καὶ τύψας ὀπέατι τὴν φλέβα, ἐξ ὧν ἔπιε τοσοῦτο τοῦ αἵματος ὅσον μιν θυμὸς αἱρέει· ποιήσας δὲ τοῦτο ἀπορράπτει ὀπίσω. Οἰκίαι δέ σφί εἰσι ἐκ ῥάβδων ἰτεΐνων, πίλῳ στεγνῷ κεκαλυμμένων· τὰς ἐπεὰν μεταστήσεσθαι μέλλωσι καταιρέουσί τε καὶ ἐπ᾽ ἁμάξῃ ἐπινήσαντες οὕτω ἐς ἄλλον τόπον φέρουσι· στήσαντες δέ, τὴν θύρην πρόσειλόν τε καὶ πρὸς μεσαμβρίην ὡς μάλιστα τράπουσι. Νόμον δὲ τοιόνδε ἔχουσι, τὸν ἐγὼ ἐθωύμασα μάλιστα· τέθνηκέ κού τεῳ θυγάτηρ· ταύτην δὴ ἄλλου τευ υἱῷ ἀπογενομένῳ καὶ αὐτῷ νομίζει ἐκδιδόναι· τοῦτο δὲ ποιεῦσι καὶ ἐπὶ μακρὸν τελευτησάντοιν ἀμφοτέροιν· ἐκδιδόασι δὲ ὧδε· τὴν συγγραφὴν τοῦ γάμου ἐπιμελέως συγγράψαντες, τὸ ἐνθεῦτεν δὲ ἐς πῦρ βαλόντες κατ᾽ ὧν ἔκαυσαν, καὶ ἐπιστέαται ὅτι διὰ ταῦτα τὰ τέκνα σφι ἐν Ἀΐδεω συνοικέουσι· τὸ δὲ μετὰ ταῦτα γαμβροὺς οὐκ ἔλασσον ἀλλήλους νομίζουσι ἢ εἰ ζώοντα. ἔτι τὰ τέκνα κῆδος συνάψαντο.

Ταῦτα ὦν τὰ νόμαια ἔτι νομάδες ἐόντες ἐπάσκεον· ἐπεί τε δὲ πολίων πλεύνων ἐπικρατήσαντες κατοικέουσι, τὰ μὲν τὰ αὐτὰ νομίζουσι ὡς καὶ τὸ πρὸ τοῦ, τὰ δὲ ἐπὶ τὸ ἡμερώτερον μεταλλάξαντές εἰσι. Ἐπεὰν δὲ ἀποθάνῃ σφι ὁ βασιλεύς, ἔστι τόπος τις τῆς Ἀσίης ἐν ᾧ πάντως ἀναγκαίη ἔχει ταφῆναί μιν· ἔστι δὲ οὗτος ἐν οὔρεΐ τεω κάρτα ὑψηλῷ· ἐν ὅτεῳ

ὧν δή κοτε τόπῳ τύχῃ τελευτήσας ὁ βασιλεὺς, καίπερ ἐπ' ἕκατον ἡμερέων ὁδὸν ἀπεόντι ἀπὸ τῶν βασιληΐων τάφων, οἱ δὲ ἰθὺς πρὸς τούτους κομίζουσι τὸ σῶμα· κομίζοντες δὲ πάντα τινὰ τὸν ἐν ποσὶ γινόμενον φονεύουσι, ἐπιλέγοντες ἅμα ὡς "καλέει σε ὁ δεσπότης ὁ σὸς συνοπαδόν οἱ·" ἐνίοτε δὲ καὶ ἐς μυρίους ἀνθρώπους ἐν τῇ πομπῇ ταύτῃ ἀποκτείνουσι τούτῳ τῷ τρόπῳ. συναποκτείνουσι δὲ καὶ τῶν βασιληΐων ἵππων τοὺς καλλίστους· διὰ τοιήνδε τινὰ αἰτίην ταῦτα νομίζοντες· ἡγέονται χρήσιμα ἔσεσθαι ταῦτα τῷ βασιλέϊ ἐν Αἴδῃ.

Τούτων ὦν τῶν Σκυθέων ὁ μὲν πρῶτος βασιλεὺς ὁ αὐτονόμους τε ποιήσας σφε, καὶ ἑωυτόν τε καὶ τὸ ἔθνος ἐς μέγα κλέος προαγαγὼν, ἦν οὐνόματι Ζεγγὶς, ἐὼν πάππος τούτου τοῦ βασιλέος πρὸς ὅνπερ ἡμεῖς ἤλθομεν· δύναται δὲ Ζεγγὶς Σκυθιστὶ μέγιστος· βασιλέα δὲ οὐνομάζουσι Χάν. Πρὸς δὲ τὸν ἡμεῖς ἀπικόμεθα, τρίτος γενεηλογήσαντι γενόμενος, ἕκτος ἔτυχε βασιλεὺς ἐών· οὔνομα δέ οἱ ἦν Κόπλαϊ· ἦρχε δὲ τῆς τε Καταϊκῆς λεγομένης χώρης, κατεστρέψατο γὰρ ταύτην ὁ πατὴρ, καὶ προσεκτήσατο αὐτὸς τὴν Μαγχὶ καλεομένην· τῶν γὰρ Σηρῶν πάντα τὰ πρὸς μεσαμβρίην Μαγχὶ καλέουσι. Οὗτος δὲ ὁ βασιλεὺς πολλά τε καὶ ἄλλα ἐπίσημος ἦν ἀρετῆς πέρι, καὶ δὴ καὶ ἱστορικώτατος ἔσκε πάντων ἀνθρώπων· ἐὼν δὲ τοιοῦτος καὶ ἐπέσκηπτε ἐμοὶ ὅκοι δή κοτε ἔλθοιμι τὰ ἀξιαπηγητότατα τῶνπερ εἶδον ἑκάστοτε ἐς βιβλία ἀπογράφεσθαι, κατελθόντα δὲ ἑωυτῷ ἐπιλέγεσθαι· καὶ δὴ καὶ πυθόμενος ὅτι ἐστὶ νῆσός τις μεγίστη, μηνῶν κάρτα πολλῶν πλόον ἀπέχουσα τῆς γῆς ἐν νοτίῃ θαλάσσῃ, φοιτέειν δὲ πρὸς ταύτην ὄρνιθα μεγάθεϊ θωυμαστὴν, καλεομένην δὲ ῥὺχ, τοῦτο πυθόμενος, πρέσβεας ἔπεμψε αἰχμαλώτους δή τινας λύσοντας λόγῳ πλαστῷ, τῷ δὲ ἀληθεστάτῳ τὴν ὄρνιθα ταύτην πάντως κτησομένους. ἀπικόμενοι δὲ, τὴν μὲν ὄρνιθα, χρόνον τινὰ ἐπισχόντες, οὐκ οἷοί τε ἐγινέατο ἰδέσθαι, τῶν δὲ ἕν τι πτερῶν ἀπεκομίσαντο, ἐὸν μήκεϊ μὲν ἐνενή-

κοντα σπιθαμέων, τὸν δὲ καυλὸν παλαιστέων δύο τὴν περιβολήν· τοῦτο δὲ τὸ πτερὸν αὐτὸς οὐκ εἶδον. τοὺς δ᾽ ὦν φέροντας βασιλεὺς ἐδωρήσατο δωρεῇ δαψιλέϊ.

Τοῦτον δὲ τὸν βασιλέα νεωστὶ ἐς τὴν βασιληΐην κατεστεῶτα πρῆγμα τοιόνδε κατέλαβε· ἦν οἱ τῶν συγγενέων τις οὐνόματι Ναιάνης· οὗτος ἀτασθαλίῃ χρεώμενος, ἀποστὰς ἐκόμησε ἐπὶ τυραννίδι. καταφρασθεὶς δὲ βασιλεὺς στρατὸν ἅπαντα τὸν ἐγγὺς τῶν βασιληΐων ἱδρυμένον πρόκα συλλέξας, τοὺς γὰρ πλεῦνας οὐ πρῆγμα ἦν οἱ προσμένειν, ἤϊε ἀντία αὐτοῦ· φυλάκους δὲ κατέστησε κατὰ πάσας τὰς ὁδοὺς, ὅκως μήτε φθάς τις Ναιάνῃ ἀγγελέει, αὐτός τε ἄγγελος ἥξει τῆς ἐπόδου. Συμβαλουσέων δὲ τῶν στρατιέων, ἐγένετο μάχη μακροτάτη τε καὶ ἰσχυροτάτη· τέλος δὲ περιεγένετο βασιλεύς· ζωγρήσας δὲ Ναιάνην τρόπῳ τοιῷδε διεχρήσατο· οὐ βουλόμενος οὔτ᾽ ἥλιον οὔτ᾽ ἠέρα τῶν τινὸς συγγενέων τοῦ βασιλέος αἷμα ἐπιδέσθαι, ἐν τάπησι οὐλοτάτοις ὅκως ἐγκληΐσειε, οὕτω δή τι μακρὸν καὶ καρτερῶς ἔπαλλε ἔς τε ὁ βίος μιν ἀπέλιπε. Οὗτος ὦν οὕτω δή τι ἔπρηξε.

Τρεῖς μέν νυν μῆνας τοὺς χειμερινοὺς βασιλεὺς ἐν τοῖσι βασιληΐοισι τυγχάνει ἐὼν, τὰ Σκυθιστὶ μὲν Καμβαλὺ καλέεται, ὑπὸ δὲ τῶν Σηρῶν βασιλήϊα βορήϊα· ὃν δὲ χρόνον ταύτῃ ἐστὶ ἐν οἰκήματι ἐνδιαιτᾶται οὕτω θωυμαστῷ ὡς νῦν φράσω. ἔστι τέμενος τετράγωνον· ἔχει δὲ μέτωπον ἕκαστον πανταχῇ σταδίων ὀκτώ· ἐντὸς δὲ τούτου ἄλλο, τῷ πρώτῳ ὁμοῖον, περιβολὴν ἔχον τεῖχος ὑψηλὸν, δέκα σταδίοισι ἑκατέρωθεν ἔλασσον τοῦ πρώτου· ὡσαύτως δὲ καὶ τρίτον ἐν μέσῳ τούτου, κατὰ λόγον ἔλασσον. Ἐν δὲ τῷ μεταξὺ τῶν περιβολέων χῶρός ἐστι δέκα σταδίων τῷ εὔρεϊ· ἐν τῷ μὲν ἐξωτέρῳ τῶν χώρων τὸ βασιλήϊον στρατόπεδον κατίζει, ἐν δὲ τῷ ἐσωτέρῳ παράδεισός τέ ἐστι καὶ δένδρεα πεφυτευμένα· καὶ ἄλλα τε θηρία ἔνεστι καὶ ἔλαφοι ἄφθονοι ὅσοι, τοὺς βασιλεὺς θηρεύει· ἔστι δὲ ἐν μὲν τῷ πρώτῳ

χώρῳ οἰκήματα τέσσερα πάγχυ μεγάλα, ἐν δὲ τῷ ἑτέρῳ ἄλλα τέσσερα παραπλήσια, ἐν τοῖσι κέεται τὰ πρὸς πόλεμον ἅπαντα, οὐ μέντοι γε ἀναπεφυρμένα, ἀλλὰ κατ' ἕκαστον γένος κεχωρισμένα· λέγω δὲ οἷα ἐν τῷ μὲν τόξα τε καὶ ὀϊστοὶ, ἐν τῷ δὲ χαλινοὶ, ὡς δὲ αὐτῶς καὶ τὰ ἄλλα. Τὸ δὲ μέσον ἅπαν τὰ βασιλήϊα αὐτὰ κατέχει· αἱ δὲ ὁδοὶ αἱ πρὸς αὐτὰ διὰ τῆς παραδείσου ἀγινέουσαι ἐς κυρτὸν οὕτω λίθοισι δεδμήαται, ὥστε μηδὲ ἢν ὕῃ λαμπρῶς παραμένειν τὸ ὕδωρ, ἀλλ' ἀπορρέειν αὐτίκα. ἐπ' αὐτῆς μέντοι τῆς γῆς οὐκ ἕστηκε τὰ βασιλήϊα, ὑπέστρωται γὰρ πάντῃ λίθος Πάριος ἐπὶ δέκα σπιθαμὰς ὕψεϊ ἁρμοσμένος τε καὶ ξεστὸς, ἐπὶ δὲ τούτου τὰ βασιλήϊα ἕστηκε, ἐόντα μουνόκωλα, τὰ δὲ θυρώματα ἅπαντα κάρτα ὑψηλὰ ἔχει· οἱ δὲ τοῖχοι καὶ αἱ ὀροφαὶ οὕτω δή τι χρυσῷ κεκοσμέαται ὥστε μηδὲ λίθον μηδαμοῦ φαίνεσθαι, ἄλλοι δὲ ζῷα παντοδαπὰ καὶ ἥρωας καὶ μάχας ἐπιγεγραμμένας ἔχουσι. Κατεναντίον δὲ τούτου τοῦ οἰκοδομήματος ἄλλο ἐστὶ, τῷ πρώτῳ κατὰ πάντα ἐμφερὲς, τὸ οἰκέει ὁ τοῦ βασιλέος υἱός· ἐν δὲ τῷ μεταξὺ ἔλυτρόν ἐστι λίμνη ὀρυκτὸν, ἐσδιδοῖ δὲ ἐς αὐτὴν κρήνη τις· ἰχθύες δὲ ἔνεισι πολλοί τε καὶ παντοῖοι· ἐπὶ δὲ τῇ μέσῃ μάλιστά κῃ γέφυρα καλλίστη ἐπέζευκται, τῇ ἀπὸ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον οἴκημα διαβαίνουσι. Ὁ μέν νυν ἐξορωρυγμένος χοῦς ἐκ τῆς λίμνης τρόπῳ τοιῷδε ἀναισιμώθη· λόφον ἔχωσαν ὕψεϊ μὲν ἐς τριηκόσια πλήθρα, ἡ δὲ περίοδος τὸ κάτωθεν δέκα σταδίων ἐστί· ἐγὼ δὲ δοκέω μάλιστα ἄξιον εἶναι ἀπηγήσιος τοῦτον τὸν λόφον, ἅτε πεφυτευμένον πανταχῇ φυτοῖσί τε καὶ δενδρέοισι τοιούτοισι τὰ κατ' οὐδεμίαν ὥρην ἔτεος ἀποβαλλέει τὰ φύλλα. ἔστι δὲ ταῦτα τὰ δένδρεα εἰδέων τε πολλῶν καὶ κάλλεϊ ἀξιοθέητα· ἐπεὰν γὰρ δένδρεόν τι ἢ καλὸν ἢ σπάνιον ἤτοι ἴδηται ἢ πύθηταί κου βασιλεὺς καίπερ ὑπερμέγαθες ἐὸν, ὁ δὲ εὐθὺς μεταπεμψάμενος κομίζεται, κομισάμενος δὲ φυτεύει ἐπὶ τοῦ λόφου. καλέεται δὲ ἐκ τούτου Χλωρὸς ὁ λόφος. Ἦμος δὲ ὁρτὴν ὁρτάζει βασιλεὺς,

θωκέει ἐς θρόνον, ἔχων τῇ μὲν ἀριστερῇ βασίλειαν, τῇ δὲ δεξίῃ υἱοὺς τοὺς ἑωυτοῦ, ἐν θρόνοισι μικρὸν ἐλάσσοσι· τὸ δὲ ἐνθεῦτεν οἱ ἄριστοι διακριδὸν ἅπαντες ὀλίγον ὑπένερθε κατέαται, τὰς κεφαλὰς ἔχοντες τοῖσι ποσὶ τοῦ βασιλέος ἴσας μάλιστα· οἷα δὲ οὐ χωρεουσέων πάντας τῶν τραπεζέων, πολλοὶ ἐπὶ ταπήτων ἐστρωμένων ἐπὶ τῆς γῆς ὅκου ἂν τύχωσι κατέαται. ἕστηκε δὲ πᾶσι ἀνὰ δύο ἄνδρας κρητὴρ μέγας, οἴνου ἔμπλεος, ἀπ' οὗ πίνουσι ὑποτύπτοντες οἰνοχόῃ· Ἐπὶ δὲ τῇσι θύρῃσι φύλακοι δύο φρουρέουσι μεγάθεϊ ὑπερμήκεες, καὶ σκῆπτρα ἔχοντες ἐν χερσί· τοῖσι ἀποδέδεκται τὸν βηλὸν ἔχειν ἐν φυλακῇ, μή τις ἐσιὼν πατήσῃ, οὐ γὰρ αἴσιον δὴ τὸν βηλὸν πατῆσαι· εἰ δὲ ἄρα τις ποδὶ θίγοι, οἱ δὲ φύλακοι οὗτοι πληγὰς ἐπιτιθέασι ὅσας δή, ἢ τὸ εἷμα ἀπαιρέουσι· ὁ δὲ ἀργύριον πολλὸν καταθεὶς ἀποκομίζεται πάλιν. ἀποδεδέκαται δέ τινες οὓς χρὴ διδάξαι ταῦτα τοὺς ἀγνοέοντας τὸν νόμον· ἐξιόντες μέντοι ἐκ τῆς ὀρτῆς οὐκ οἷοί τέ εἰσι ὁμοίως τηρέειν, ἅτε οὐκ ὀλίγοι αὐτῶν ἐπὶ πολλὸν προβεβηκότες μέθης.

Τοιαῦτα ὦν ἐστὶ τὰ βασιλήϊα· ἀτὰρ αὐτὴ ἡ πόλις οὕτω μεγάλη τε καὶ πολυάνθρωπός ἐστι ὥστε οὐ πρόθυμός εἰμι ἀπηγήσασθαι, εὖ εἰδὼς ἐς πολλὴν ἀπιστίην ἀπιξόμενος· μετείσθω ὦν. φοιτέουσι δὲ ἐς αὐτὴν καὶ ἔμποροι ἀπὸ πάσης τῆς γῆς, ἄγοντες ὅσα τιμιώτατα ἔχει χώρη ἑκάστη, καὶ ἄλλοι κατὰ θεωρίην. Μοῦνος δὲ πάντων ἀνθρώπων ἐξεύρηκε ὁ βασιλεὺς οὗτος τοιήνδε τινὰ μηχανήν, τῇ αὐτὸς μὲν πλούσιος ἐπ' ὃ ἂν βούληται πενέστερος δὲ ὅμως μηδεὶς ἄλλος ἂν γίνηται ἀνθρώπων· οὔτε γὰρ χρυσίῳ οὔτ' ἀργυρίῳ χρᾶται νομίσματι, ὁ δὲ βίβλῳ χρᾶται· ταύτην δὲ τὴν βίβλον δέκεσθαι ἄνωγε ἔθνεα πάντα τῶνπερ ἄρχει ἀντὶ χρυσίου καὶ ἀργυρίου· οὐδ' ἔξεστι οὐδενὶ ἀναίνεσθαι. Τὴν δὲ βίβλον τρόπῳ τοιῷδε ἀρτύνουσι· μορέαι εἰσί σφι ἄφθονοι ἐν τῇ γῇ· τουτέων ὅκως τὸν ἐσώτερον φλοιὸν ἀπ' ὧν ἔλεψαν, λεήναντες ἐν ὅλμῳ ὑπέροισι, ἐς βίβλον

ποιεῦσι, τῇ ἑωθυίῃ ἐμφερεστάτην, εἰ μὴ ὅτι μέλαινά ἐστι δεινῶς. ταύτην ὦν κατακόπτουσι ἐς μέρεα· καὶ τὰ μὲν τῶν μερέων μέζονα τὰ δὲ ἐλάσσονά ἐστι, λελογισμένως τὰ μὲν δραχμῇ τὰ δὲ μνέῃ ἴσα εἶναι, τὰ δὲ καὶ πολλαπλησίης τούτων ἀξίης· ἕκαστον δὲ αὐτός τε βασιλεὺς καὶ οἱ περὶ αὐτὸν πρῶτοι ἄνδρες σφρηγῖσι τῇσι ἑωυτῶν σημαίνονται· ὕστερον δὲ ἀνὰ ἀργυρίου λόγον νομίζουσι. ἢν δέ τις μιμεύμενος ἐπίλαμπτος γένηται, θάνατος ζημίη ἐπικέεται. Πάντες ὦν οἱ πρὸς τὴν πόλιν ἐλθόντες ἔμποροι παρὰ βασιλέα ἄγονται τὴν πρώτην· ἔπειτα δὲ ἄνδρες δυώδεκα ἐμπειρίην ἐλλόγιμοι, τοὺς κατιστᾷ βασιλεύς, πάντων τῶν φερομένων τιμὰς τάξαντες ἱκανῶς, τὴν προσήκουσαν βίβλον τοῖσι ἐμπόροισι ἀποδιδοῦσι· οὐδ᾿ ὦν ἔξεστι οὐδενὶ ἀνεύ γε τῆς τιμήσιος ταύτης οὐδὲν πωλέειν. οὕτω ἐς τοὺς βασιλέος θησαυροὺς ἔρχεται πᾶν ὅ,τι χρυσοῦ ἢ ἀργύρου ἐχόμενόν ἐστι· ἀλλὰ μὴ σπάνις ἔῃ τοῖσι ἄργυρον ἢ χρυσὸν ἐργαζομένοισι τεχνίτῃσι, ἔξεστι παντὶ τῷ βουλομένῳ ἐκ τούτων ἐργάζεσθαί τι, ἐσιόντι παρὰ βασιλέϊ καὶ καταβαλόντι τὴν ἴσην βίβλον τοῦτο τοῦ ἂν ἐνδεὴς ἔῃ κομίζεσθαι.

Ἐπεὰν δὲ ἐπὶ θήρην ἴῃ βασιλεύς, ἄγει σὺν ἑωυτῷ πλῆθος ἀδιήγητον ἀνθρώπων· ὅ,τι γὰρ θηρευτέων ἐστὶ πλεῦνες ἢ μύριοι συνέπονται, χωρὶς δὲ τούτων ἀστρολόγοι τε καὶ ὑπήρεται παντοδαποὶ καὶ ἄλλοι ὁπηδοὶ ἄτοπον ὅσοι. οὗτοι μέν νυν ἑκατέρωθεν βασιλέος διασκεδασθέντες ἀνὰ τὴν χώρην, τὰ θηρία αἰεὶ ἐς τὰ ἐσώτερα ἐλαύνουσι. θηρεύουσι δὲ τοῦτο μὲν κυσί, τοῦτο δὲ λέουσι καὶ πάρδοισι χειροήθεσι, χρεώμενοι αὐτοῖσι ὧδε· ἐπ᾿ ὀφθαλμοῖσι τῶν πάρδων πίλους δησάμενοι κατέχουσι· ἐπεὰν δὲ θηρίον τι κατίδωνται, οἱ δὲ λύσαντες πρόκα τοὺς πίλους ἐῶσι ἐπιδιώκειν. χρέωνται δὲ καὶ ἴρηξι καὶ αἰετοῖσι ἐν τῇ θήρῃ, δεδιδαγμένοισι καὶ γεράνοισι καὶ ἄλλῃσι ὄρνισι προσφέρεσθαι· οἱ δὲ αἰετοὶ καὶ λύκοισι ἐπιφέρονται. βασιλεὺς δὲ αὐτὸς ἐλέφαντι ἐποχέεται ἢ ἑνὶ ἢ δυοῖσι διὰ τὰς στεινωπούς, ὅκου καὶ ἄλλοτε τέσσερσι ἔωθε

ἐποχέεσθαι, ἐν καμάρῃ τινὶ κατήμενος· ὄρνιθος δέ τευ τάχιστα φανείσης παρήγγειλε ἀπιέναι τοὺς ἴρηκας· ὁ δὲ θηέεται σφέας διαμαχομένους, ἡ δὲ μάχη ἐνιότε χρόνον ἐπὶ πολλὸν γίνεται· ἅτε δὲ πλήθεϊ πολλῶν ἐόντων τῶν θηρίων εὐφραίνεται ἀμήχανον ὅσον. τοῦ δὲ θηριώδεα πάγχυ εἶναι ταῦτα τὰ χωρία αἰτίη ἥδε ἐστί· ἀπαγορεύει γὰρ βασιλεὺς μηδένα ἔντος γε τούτων τῶν οὔρων οὗ θηρεύει αὐτὸς ἢ κύνα ἢ ἴρηκα ἐκτῆσθαι, ἀσινέα τε εἶναι πάντα τὰ θηρία· καὶ δὴ καὶ ἐν πάσῃ τῇ χώρῃ τῆς ἄρχει ἐπὶ μῆνας ῥητοὺς τοῦ ἔτεος οὐδενὶ ἔξεστι οὐδὲν θηρίον δηλέεσθαι.

Ἡ μέν νυν Σηρικὴ ἅπασα πλήρης ἐστὶ πολίων πλείστων τε καὶ μεγίστων, ὥστε ὁδοιπορέων ἐν αὐτῇ ἡγήσεαι αἰεὶ διὰ προαστείων πορεύεσθαι· ἡ δὲ πολυανθρωπίη θωυμασιωτάτη ἐστί. γέφυραι δὲ ἀναρίθμητοι ἔνεισι, πολλαπλήσιαι ἢ ἐν ἄλλῳ τινὶ ἔθνεϊ ἀνθρώπων· ὅκου καὶ ἐν μιῇ πόλι μητρόπολι ἐούσῃ τῆς Μαγχὶ ἤκουσα φαμένων ἀτρεκέως εἰδέναι σφέας, ὡς εἰσι ἐς διηκοσίας καὶ χιλίας ἀριθμῷ. αἱ δὲ γέφυραι οὐκ ὑπαίθριαί εἰσι ἀλλ' ὀροφῇσι κατηρεφέες· καὶ οἰκήματά ἐστι ἐπ' αὐτέων, ὅκου πωλεῦσι μὲν καὶ ἀγοράζουσι μετ' ἡμέρην, τὴν δὲ νύκτα κατ' ὧν κληΐσαντες ἀπαλλάσσονται. Ποταμοὶ δέ εἰσι καὶ ἄλλοι ἐν τῇ χώρῃ ἀξιοθέητοι, καὶ δύο μεγάθεϊ ὑπερβάλλοντες ἄλλους πάντας τῶν ἡμεῖς ἴδμεν· τῶνπερ ἑνὸς πέρι ἔρχομαι τὸν λόγον μηκυνέων. ἔστι δὲ τὸ μὲν εὖρος τὰ κάτω παρὰ τῷ στόματι σταδίων ὀγδοήκοντα, ἔστι οὗ δὲ καὶ ἕκατον· μῆκος δὲ ῥέει, ἀπὸ θαλάσσης ἄνω ἰόντι, ἡμερέων πλεῦν ἢ ἕκατον ὁδόν. πλῆθος δὲ νήων καὶ ὁλκάδων τῶν τούτῳ τῷ ποταμῷ χρεωμένων τοσοῦτόν ἐστι ὥστε καὶ αὐτὸς χιλίαδας πέντε ὁμοῦ ἐούσας αὐτοπτής κοτε ἠρίθμησα. Ἀπὸ δὲ τοῦ ποταμοῦ τούτου βασιλεὺς διώρυχα μεγίστην διώρυξε, ἣ ἐς ἄλλας τε πόλις καὶ ποταμοὺς κατατείνει, καὶ δὴ καὶ ἀπικνέεται ἐς αὐτὴν τὴν Καμ*βαλύ· ὥστε ἐνδέχεται* πλώοντα μὲν πᾶσαν τὴν ὁδὸν *τὴν θάλασσαν μηδ' ἅπαξ* ἰδεῖν. ἔστι δὲ οὕτω δή τι

βαθέη καὶ πλατέη ἡ διῶρυξ ὥστε νῆας μεγίστας ῥηϊδίως πλέειν ἐλαστρευμένας ἐν αὐτῇ. τὸ δὲ χῶμα ἐκ τοῦ ὀρύγματος παρέχωσε παρὰ τὸ χεῖλος, ὁδὸν ἁμαξιτὸν ποιέων ἐπ' αὐτοῦ διηνεκέα.

Σχεδὸν δὲ οὐ γεγόνασι ἐν τοῖσι Σηρσὶ ἰητροί· ἐπεὰν μέν νυν τῶν τις πρώτων ἀνὴρ κάμῃ, οἱ δὲ γόητας μεταπέμπονται, ἡγεόμενοι ἐκ θεοῦ τινὸς ὀργῆς γένεσθαι τὴν νοῦσον. οἱ δὲ γόητες ἐξευρόντες τοῖσι γοητεύμασι ὅστις ὀργίζεται τῶν θεῶν, σημαίνουσι ὅσα χρὴ ἱρήϊα καταγίσαντα τὴν ὀργὴν ἀποτρέψαι· εἰ δὲ μετὰ τοῦτο ἀποθάνοι ὁ ἄνθρωπος, λέγουσι ὡς ἐτόλμησέ τις τῶν κρεῶν πάσασθαι μήπω καταγισθέντων, ταύτην δῆθεν αἰτίην ἐπιφέροντες τοῦ θανάτου. εἴσι δὲ τοῦτο μὲν ἐν τῇ Σηρικῇ τοῦτο δὲ καὶ κατὰ πᾶσαν τὴν ἤπειρον γοήτων πληθὺς οὐκ ὀλίγη, οἱ θωύματα κατεργάζονται· καὶ τοῦτο μὲν εὐωχεομένῳ τῷ βασιλέϊ κρητῆρας οἴνου ἢ γάλακτος ἢ ἄλλου τευ πόματος ἐμπλέους αὐτοκινήτους ποιέουσι ἐλθεῖν ἕκαθεν, οὐδενὸς θιγόντος, δι' ἠέρος, ἐλθόντας δὲ καταστῆσαι ἑωυτοὺς ἔμπροσθεν βασιλέος· εἴτε δὲ ἀληθέως τοῦτο δρῶσι τῇσι γοητηΐησι εἴτε διὰ νεύρων τινῶν ἐπέλκοντες οὐκ ἀτρεκέως οἶδα· τοῦτο δὲ ἄλλοθι πολλαχοῦ τῆς Ἀσίης, ἁρπαγῇ χρεώμενοι, σκότος τοσοῦτον μεσαμβρίης ἐπάγουσι ὥστε μηδὲ μακρότερον ὀργυιέων δύο ἢ τρίων δύνασθαί τινα προορᾶν· ἐγὼ δὲ καὶ αὐτός κοτε σκοτέων τινὶ τούτων τῶν ποιητῶν ἐνέτυχον, διεσώθην μέντοι πρὸς πύργον τινὰ πρὸς αὐτὸ τοῦτο οἰκοδομημένον καταφυγών· οἱ δὲ σὺν ἐμοὶ καταλαμφθέντες ἅπαντες κακῶς διετέθησαν. Ταῦτα δὲ οὐκ ἐν τοῖσι Σηρσὶ συνέβη γενέσθαι, ἀλλ' ἐν τῇ χώρῃ τῇ προσούρῳ τῶν ἄνω Ἰνδῶν.

Τῶν μέν νυν Σηρῶν οἱ πολλοί, ἅπαντες γὰρ οὔ, καίουσι τοὺς νεκρούς· τὰ δὲ ὀστέα συλλέξαντες ἐς ἀγγήϊα φορέουσι πρὸς οὔρεα καὶ ἐς σπήλυγγας κατακρύπτουσι ἵνα μή τι θηρίον θίγῃ σφέων· πολλοὶ δὲ αὐτῶν καὶ τάδε ἐπασκέουσι· εἴκονας ποιήσαντες πάντων τῶν ὅσα χρησιμώτατα ἡγέονται ἔσεσθαι τοῖσι

φίλοισι ἐν Αΐδῃ, ταύτας σὺν τοῖσι νεκροῖσι κατακαίουσι, τῷ καπνῷ πιστεύοντες ὥστε ἐκεῖσέ μιν κομίσαι. Κεραμέες δὲ οἱ Σῆρές εἰσι πάντων ἀνθρώπων κάλλιστοι· τὸν δὲ κέραμον ποιεῦσι τρόπῳ τοιῷδε· γῆς ἰδέην τινὰ ἔκτηνται τὴν ἐκ μετάλλων ὀρύξαντες σὺν ὧν ἔνησαν ἐς θῖνας μεγάλους· ἐάσαντες δὲ κέεσθαι ἔτεα τεσσεράκοντα ἢ πεντήκοντα μάλιστα, οὕτω δὴ πρὸς κοτύλας τε καὶ ἄγγεα καὶ ἐς πολλὰ ἄλλα χρέωνται· ὑομένη δὲ καὶ ὑπὸ τοῦ ἡλίου αὐαινομένη τοῦτον τὸν χρόνον λεπτὴ γίνεται. Οὕτω ἕκαστος τοῖσι ἑωυτοῦ υἱοῖσι ἢ υἱωνοῖσι γῆν ὀρύσσει.

Τοσαῦτα ἡμῖν εἰρήσθω τὸ παρέον, ὀλίγα δὴ ἐκ πολλῶν, περὶ τῶν Σηρῶν. Μείναντας δὲ ἡμέας ἔτεα ἑπτὰ καὶ δέκα παρὰ βασιλέϊ καὶ χρήματα μεγάλα συναγειραμένους ἐπιθυμίη ἐσῆλθε οἴκαδε ἀπονοστῆσαι· καὶ ἐν νόῳ ἐβαλόμεθα ὡς εἰ ἀποθάνοι βασιλεὺς οὐκ ὁμοίως ἡμῖν ἀσφαλίη γένοιτο· ὁ δὲ παντοῖος ἦν οὐ βουλόμενος μετιέναι ἡμέας· οὐδὲ μετῆκε ἂν εἰ μὴ συνεπελάβετο τοῦ πρήγματος συμφορὴ τοιήδε· ἦν βασιλεύς τις τῶν Περσέων· τούτου ἀποθνήσκουσα ἡ γυνὴ καὶ λόγοισι καὶ γράμμασι ἐδεήθη ἄλλην μηδεμίαν ἐπιγῆμαι μὴ γένεϊ ἴσην τε ἐοῦσαν ἑωυτῇ καὶ ἐξ οἰκίης τῆς αὐτῆς, ἔτυχε γὰρ τῆς βασιλέος ἱστίης ἐοῦσα. ἀποθανούσης δὲ τῆς γυναικὸς πρέσβεας ἔπεμψε ὁ ἀνὴρ παρὰ βασιλέα ἀπηγησομένους τε τὰ γέγονε, και γυναῖκα αἰτησομένους· ὁ δὲ ἤθελε δοῦναι. λαβόντες ὦν οἱ πρέσβεες γυναῖκα νέην τε καὶ εὐειδέα τῶν ἐν γένεϊ ἐουσέων τῷ βασιλικῷ, τῇ γὰρ γῇ οὐκ οἷοί τε ἐγενέατο κατελθεῖν, οἷα ἀναστάτῳ ἐούσῃ διὰ πολέμων· καὶ ἐμεῦ νεωστὶ παρεόντος ἐκ τῆς περὶ Ἰνδίην θαλάσσης καὶ εὐπλοίῃ χρησαμένου, ἐδεήθησαν βασιλέος ἐᾶσαι ἡμέας προπέμπειν σφέας ἐς τὰ ὀπίσω. καταινέσας δὲ βασιλεὺς καὶ ἀέκων ὅμως ἀπέπεμψε ἡμέας ἐπ' οἷσι μείναντας ὀλίγον ἐν τῇ ἡμετερῇ πάλιν ὑποστρέψαι παρ' ἑωυτόν. Ὁρμησάμεθα ὦν νῆας ἔχοντες τεσσερεσκαίδεκα, ἱστοῖσι ἑκάστην τέσσερσι καὶ ἱστίοισι ἐννέα ἐξηρτυμένην· τὰ δὲ πληρώματα ἀν-

δρῶν τεσσεράκοντα καὶ ἕκατον ἦσαν. Διαφέρουσι δὲ αὗται αἱ νῆες τῶν ἡμετερέων, τὰ δὲ διαφέρουσι ἐρέω· ἐπὴν γὰρ θαλασσευσάσης ἐπ' ἔτεα δύο ἢ τρία μάλιστα τῆς νηὸς σήπηται τὰ ξύλα, ἀνελκύσαντες, ἄλλα ξύλα ἐπιπηγνύουσι, οὐ τὰ πρῶτα περιελόντες ἀλλὰ ἐπιπολῆς σφέων ναυπηγέοντες· ἐπιτελέσαντες δὲ τοῦτο κατ' ὧν εἵλκυσαν ὀπίσω ἐς θάλασσαν· μετὰ δὲ ἄλλα δύο ἢ τρία ἔτεα τὠυτὸ ποιεῦσι πάλιν, ἐς ὃ πρὸς πέμπτα ἢ ἕκτα ξύλα ἔλθωσι· τὸ δὲ μετὰ τοῦτο ἀποπαύονται, ἀποδοκιμάσαντες μηκέτι εἶναι πλώϊμον τὴν νῆα. Ἔστι δὲ καὶ ἄλλα μεμηχανημένα σφι τάδε· διαζεύξαντες τὴν κοίλην νῆα, τῶν μερέων ἕκαστον ἐμπακτοῦσι, στεγνὰς τὰς ἁρμονίας ποιεῦντες· ὥστε εἰ χοιράδι ἢ κήτεϊ προσκρούσαντες τὴν νῆα τῇ μὲν διαρρήξειαν, ἀσφαλέα δὲ ὅμως εἶναί σφι τὴν λοιπήν.

Ἡμεῖς ὦν πλώσαντες μῆνας τρεῖς πρὸς νῆσον μεγάλην κατὰ τὴν χρυσέην καλεομένην χερσόννησον μάλιστα κειμένην, πρὸς ταύτην κατηνύσαμεν· ἔστι δὲ αὕτη ἡ νῆσος οὕτω μεγάλη, ἔθνεα ὀκτὼ ἐν ἑωυτῇ ἔχει· ἵδρυται δὲ οὕτω μακρὸν πρὸς μεσαμβρίης ὥστε ἀφανέα γενέσθαι ἀπ' αὐτῆς τὴν ἄρκτον. Ἀπλοίη δὲ αὐτόθι συνειχόμεθα μῆνας πέντε· ἐτησίαι γάρ εἰσι, καὶ τοὺς μὲν ἓξ μῆνας ἑτέρωθεν τοὺς δὲ ἓξ ἑτέρωθεν πνέουσι. οἷα δὲ χρόνον τοσοῦτον κατεχόμενος ἐν τῇ νήσῳ στρατόπεδον περιεσταυρωσάμην ἐπὶ τοῦ αἰγιαλοῦ, σταυροὺς ἄγων πέριξ τὸ στρατόπεδον μεχρὶ τῆς θαλάσσης ἑκατέρωθεν. ταῦτα δὲ περιεβαλόμεθα δείσαντες τοὺς βαρβάρους. ἀνθρωποφάγοι τε γάρ εἰσι, καὶ τὸν ἂν εὕρωσι μουνωθέντα κατεσθίουσι συλλαβόντες. Τῶν δὲ ὀκτὼ ἐθνέων τῶν ἐν τῇ νήσῳ ταύτῃ οἰκημένων ἕν ἐστι οἳ τοὺς πυγμαίους ἄνδρας τοὺς καὶ μεχρὶ ἡμέων ἐπιφοιτέοντας κατασκευάζουσι· κατασκευάζουσι δὲ ὧδε· πίθηκον λαβόντες, καί οἱ τὰς τρίχας ἁπάσας ἀποξυρήσαντες, ὅτι μὴ τὰς ἐπὶ τῷ γενείῳ, καὶ εἰ ἄλλοθι κου φύονται ἀνθρώπῳ, οὕτω δὴ ταριχεύουσί μιν σμύρνῃ τε καὶ ἄλλοισι φαρμάκοισι, καὶ τοῖσι ἐμπα-

ροισι ἀπ' ὧν ἔδοντο ἀποφέρειν. οὕτω χειροποιητοὶ ἄνδρες εἰσὶ οἱ πυγμαῖοι. Ἔχουσι δὲ οἱ ταύτῃ νησιῶται καὶ ἄλλον νόμον μυσαρὸν τόνδε· τῶν νουσεόντων ὃς ἂν ἐπίδοξος ἔῃ θανεῖν ἀποπνίξαντες καὶ κατακόψαντες τὸ σῶμα κατεσθίουσι πᾶν, οὐδ' ἐλάχιστον μέρος λιπόντες· εἰ γὰρ καὶ ὁτιοῦν λίποιεν, φύοι δῆθεν ἂν ὡς οἰκὸς εὐλάς· σπανίσασαι δὲ αὗται βορῆς μετ' ὀλίγον διαφθάρειεν, τοῦτο δὲ τίσιος ἂν αἰτίη γένοιτο τῇ ψυχῇ τοῦ ἀπογενομένου.

Ἐπεί τε δὲ ἀνιέντος τοῦ ἀνέμου ἀνάχθημεν ἐκ τῆς νήσου, πλώσαντες μῆνας τρεῖς πρὸς ἥλιον δύνοντα ἀπικόμεθα πρὸς ἄλλην νῆσον Ταπροβάνην οὐνομασμένην· καλέουσι δὲ αὐτὴν οἱ ἐπιχώριοι Ζειλάν. ταύτην δὲ τὴν νῆσον πασέων καλλίστην εἶδον, καὶ οὐρανοῦ τε καὶ ὡρέων κάλλιστα ἤκουσαν· καὶ εἴσι ἐν αὐτῇ λίθοι σπάνιαι τε καὶ πολυτελέες, τῶνπερ μίαν ἔχει ὁ βασιλεὺς τῆς νήσου, μήκεϊ μὲν ἐοῦσαν ἐπὶ σπιθαμὴν, πλάτεϊ δὲ βραχίονι ἀνθρώπου ἴσην, καὶ λαμπρὴν ἀδιήγητον ὅσον. ἔστι δὲ καὶ οὖρος ὑψηλότατον ἐν τῇ νήσῳ, ἁλύσεσι σιδηρέῃσι ἀμβατὸν, ἄλλως γὰρ οὐκ ἀναβήσεαί μιν· οἱ δὲ τρόπῳ τοιούτῳ ἀναβάντες εὑρίσκειν λέγονται ἐπὶ τῇσι κορυφῇσι τὴν θήκην τοῦ πρώτου ἀνθρώπου. Ἀπέχει δὲ ἀπὸ τῆς μέζονος Ἰνδικῆς οὐκ ὅλης ἡμέρης πλόον· ἐν δὲ τῷ μεταξὺ πορθμηΐῳ φύονται μαργαρῖται, τούσπερ θηρῶνται οἱ ἐπὶ τοῦτο ἀνειμένοι τρόπῳ τοιῷδε· ὀργυιέων δυῶν οὐ πλεύνων ἐστὶ τὸ ὕδωρ τῇπερ ἐπ' ἐλάχιστόν ἐστι τοῦ βάθεος· ταύτῃ ὁρμέοντες τῇ γίνεσθαι τοὺς καλλίστους μαργαρίτας γινώσκουσι, κολυμβητὰς κατιᾶσι, οἳ τὰ κογχύλια ἐν τοῖσι φύονται οἱ μαργαρῖται ἐς θυλάκους συλλέγουσι, τούτους γὰρ πρὸς αὐτὸ τοῦτο περιβεβλημένοι καταβαίνουσι· συλλέξαντες δὲ ἱκανὰ διὰ χρόνων ἀνέλκονται πνεύματος δεόμενοι. ἔστι δὲ ἰχθύς τις μέγας τε καὶ καρτερὸς, ὃς διαφθείρειε ἂν τοὺς κολυμβητὰς, εἰ μὴ μεμηχάνητό σφι τοιόνδε· γοήτας μισθοῦνται, οἳ γοητεύμασι καὶ ἐπῳδῇσι καταθέλγουσι τοὺς ἰχθύας, ὥστε μηκέτι δύνασθαι σιναμωρέειν

σφέας· νυκτὸς δὲ ἐπελθούσης ἀπ' ὧν ἔλυσαν τοὺς ἰχθύας ἀπὸ τῶν ἐπῳδέων, ἵνα μὴ φῶρες φοιτέοντες νυκτὸς κλέπτωσι τοὺς μαργαρίτας.

Ἡ δὲ ταύτῃ ἤπειρος οὐ πάνυ φύει ἵππους, ἀλλ' ἐπεσάκτοισι χρέωνται· ἐσάγονται δὲ κάτ' ἕκαστον ἔτος ἵπποι μάλιστα πεντακισχίλιοι· τούτων δὲ οὐ πλεῦνες ἑπτακοσίων διενιαυτίζειν λέγονται· ἀντὶ δὲ χόρτου διδόασί σφι κρέα ἑφθά, καὶ ἄλλα ἐπιφορήματα· λέγουσι δὲ αὐτοὶ ὡς οὐκ ἔχουσι μελεδωνοὺς ἐπισταμένους νουσέοντας θεραπεύειν, καὶ διὰ ταύτην τὴν αἰτίην ἀποθανεῖν σφι τοὺς ἵππους. Νόμαιον δέ ἐστί σφι καὶ τόδε περὶ τῶν χρεωφειλετέων· ἐπεὰν χρεωφειλέτης τις τὸ χρέος μὴ θέλῃ ἀποδοῦναι, ἢ ὑπερβάληται δὶς ἢ τρὶς ἐπαιτηθείς, ἔξεστι τῷ δανείσαντι ἀναγκαίῃ καταλαβεῖν ἀποδοῦναι· οὐ γὰρ δὴ τοσοῦτον κατηλογήσειε ἂν τοῦ νόμου ὁ περιγραφθεὶς ὥστε πρότερον ἐκστῆναι ἐκ τοῦ κύκλου πρὶν ἀποδοῦναι τὸ ὀφειλόμενον. πειθαρχέει δὲ τῷ νόμῳ καὶ αὐτὸς ὁ βασιλεύς σφεων· εἶδον γάρ κοτε καὶ αὐτὸς ἔμπορόν τινα τῷ ὁ βασιλεὺς χρήματα μεγάλα ὀφειλήσας ὑποσχέσεσι ψευδέσι ἐξηπατήκεε, τοῦτον ἐπιτυχόντα κου ἱππεύοντι τῷ βασιλέϊ, καὶ προσδραμόντα, κύκλον ἐπὶ τῆς γῆς περὶ αὐτὸν περιγράψαι· ὁ δὲ ἐνετείλατο ἐκ τῆς ἰθείης ἀποδοθῆναί οἱ τὸ χρέος.

Ἐνθεῦτεν δὲ ἐστάλημεν πρὸς μεσαμβρίης τε καὶ ἡλίου δύνοντος, καὶ κάμψαντες τὸ πρὸς μεσαμβρίην ἄνεχον ἀκρωτήριον τῆς Ἰνδικῆς, ἔπειτεν παρηνείχθημεν πρὸς βορέω ἤδη, ἐν δεξίῃ ἔχοντες Ἰνδικὴν τὴν μεγάλην· μηνῶν δέ οὐκ ὀλίγων ἐστὶ οὗτος ὁ πλόος. ταύτῃ δὲ τὴν παραθαλασσίην ἅπασαν ληϊσταὶ οἰκεοῦσι, οἵπερ περιστρωφώμενοι ἐπεὰν νέα ἕλωσι, τὴν μὲν ληϊσάμενοι οἰκηϊεῦνται, τοὺς δὲ ἄνδρας οὔτε κατεργάζονται, οὔτε ἄλλο τι κακὸν πρήσσουσι, ἀλλ' ἐκβήσαντες ἐς τὴν γῆν κελεύουσι ἀπιόντας καὶ νέα τε ἄλλην καὶ γόμον ἄλλον παρασκευασαμένους ἐπανελθεῖν αὐτόσε πάλιν, ἵνα ληϊσάμενοι δὴ δεύτερα κερδάνωσι.

Μῆνας δὲ πλώσαντες τρεῖς καὶ ἐείκοσι ἀπ᾽ οὗ ἀπῆμεν παρὰ βασιλέος, λιμένα πρὸς ὃν ἀπεστάλημεν τὴν πρώτην, ἐς τοῦτον κατηνύσαμεν· οὔνομα δέ ἐστι αὐτῷ Ἅρμουζα, κατῴκηται δὲ ἐπ᾽ Ἐρυθρῇ θαλάσσῃ, ἐν νησιδίῳ οὐ πολλῷ τεῳ ἀπέχοντι τῆς ἠπείρου. Ἔστι δὲ ἐμπόριον ἡ Ἅρμουζα μέγιστον, τῶν τε ἄλλων καὶ οὐκ ἥκιστα τῶν ἵππων· ἐκ γὰρ ταύτης τῆς πόλιος πάντες οἱ ἐς τὴν μέζονα Ἰνδικὴν ἐσενεχθέντες ἵπποι ἀγινέονται. Καύματα δέ ἐστι ἰσχυρὰ κατὰ ταῦτα τὰ χωρία· καὶ οἱ ἀπὸ τῆς ἐρήμου πνέοντες ἄνεμοι ἐνίοτε οὕτω δή τι καίουσι ὥστε ταχέως ἂν ἀποπνίγεσθαι τοὺς ἐντυχόντας αὐτῷ. πρὸς ὧν τοῦτον τὸν ἄνεμον σοφίζονται τάδε οἱ ἐπιχώριοι· κατ᾽ ὥρην ἔτεος ἐν ᾗ ἔωθε μάλιστα πνέειν, ἐκλιπόντες τὸ ἄστυ πάντες διάγουσι ἐν οἰκήμασι ἰτεΐνοισι, ὑπὲρ ὕδατος οἰκοδομημένοισι· ἐπεὰν ὦν αἴσθωνται προσφερόμενον τὸν ἄνεμον, οἱ δὲ ῥίψαντες ἑωυτοὺς ἐς τὸ ὕδωρ μεχρὶ γενείου μάλιστα, οὕτω μένουσι ἐς οὗ ἂν λωφήσῃ. Βασιλεὺς δέ τις τῶν προσούρων, ἐν νόῳ ἔχων στρατεῦσαι ἐπὶ ταύτην τὴν πόλιν, καὶ βουλόμενος ἐπιπεσέειν ἀπαρασκεύοισι τοῖσι πολιήτῃσι, ἐστείλατο στρατιῇ κατ᾽ ὥρην ἔτεος ἐκείνην ἐν ᾗ οὕτω ἐρῆμός ἐστι ἡ πόλις ὡς κατέλεξα· οἱ μέντοι πεμφθέντες, περιτυχόντες τῷ ἀνέμῳ τούτῳ ἐν τῇ ἐρήμῳ ἅπαντες κάκιστα διεφθάρησαν, ὥστε μηδὲ ἕνα τὸν ἀπηγησόμενον τὸ γεγονὸς περιγενέσθαι. Ἐπεί τε ὦν ἀπικόμεθα πρὸς ταύτην τὴν πόλιν, κατελάβομεν ἤδη τεθνηκότα τὸν βασιλέα πρὸς ὃν τὴν γυναῖκα ἤγομεν· τούτου μέντοι τῷ υἱῷ ἐς τὰς χεῖρας παρεδώκαμεν αὐτήν. ἐνθεῦτεν δὲ πυθόμενοι ὅτι τετελευτηκὼς εἴη καὶ βασιλεὺς ὁ μέγας ἀπεκομίσθημεν ἐπ᾽ οἴκου.